# ΚΕΦΑ΄ΛΑΙΟΝ, ΔΕΥ΄ΤΕΡΟΝ.

## Ἀπορίαι περὶ τῶν τῇ ἁφῇ παρεπομένων.

Πρῶτον οὖν ἀπορεῖται περὶ τοῦ ὁρισμοῦ τῆς ἁφῆς, περιττὸς γὰρ εἶναι δοκεῖ, πᾶν γὰρ μέγεθος ἐκ μερῶν ἐστι θέσιν ἐχόντων, ὥστε οὐκ ἔδει ἐν τῷ ὁρισμῷ ἰδίᾳ τιθέναι τὸ θέσιν ἔχειν, ἅτε δὴ ἐν τῷ τοῦ μεγέθους λόγῳ περικλειόμενον. ἔτι δὲ ὧν ἐστιν ἅμα τὰ ἔσχατα ταῦτα διῃρῆσθαι ἀνάγκη. ἀρκεῖ τοίνυν εἰπεῖν ὧν μεγεθῶν ἐστιν ἅμα τὰ ἔσχατα προσεπινοουμένου τοῦ ταῦτα διωρισμένα τυγχάνειν. πρὸς ἃ ῥητέον ὅτι ὁ τῆς ἁφῆς ὁρισμὸς σαφὴς μέν ἐστιν, ἀλλ' οὐ περιττὸς, τὰ γὰρ ἐν τούτῳ μέρη ἔοικεν ἀναγκαῖα εἰς ἐμφανωτέραν σαφήνειαν. λέγεται γὰρ μεγεθῶν θέσιν ἐχόντων ἡ ἁφή. ὅτι μεγέθει πως δοκεῖ καὶ χρόνος καὶ κίνησις, ἀλλ' οὐ θέσιν ἔχουσιν, εἶτα ἡ τῶν μεγεθῶν θέσις πάθος ἐστὶν ἀλλ' οὐ τὸ εἶναι γραμμῆς, ἐπιφανείας, καὶ σώματος, διὸ δὴ καὶ θεωρεῖσθαι δύναται ἄνευ τῆς τοιαύτης θέσεως, εἰ δὲ θεωρεῖται ὡς ἁπτόμενα ἀδύνατον ἄνευ θέσεως νοεῖσθαι. ὅθεν εἰκότως ἡ ἁφὴ λέγεται μεγεθῶν θέσιν ἐχόντων. ἐντεῦθεν δὲ φανερόν ἐστιν εἰς τίνα κατηγορίαν ὑπάγεσθαι δεῖ τὴν ἁφήν, ἀνήκει γὰρ εἰς τὸ κεῖσθαι, τοιαύτην γὰρ ἔχει διάθεσιν κατὰ τόπον, ὥστε συνῆφθαι κατὰ τὰ ἔσχατα καὶ ἔοικεν οὖσα διαφορὰ τοῦ κεῖσθαι, ὁμοίως δὲ οὐδὲ τὸ λέγεσθαι διῃρημένων εἶναι τὴν ἁφὴν σωμάτων οὐ περιττὸν, ἵνα δῆλον μᾶλλον γένηται ὅτι ἕτερα ὀφείλει εἶναι τὰ ἁπτόμενα. Δεύτερον ἀπορεῖται πῶς ἡ ἁφὴ λέγεται τῶν ποιητικῶν καὶ παθητικῶν εἶναι, τὸ γὰρ ποιεῖν καὶ πάσχειν ὑποτίθησι τὴν ἁφήν, ἀλλ' οὐ συνιστᾷ ταύτην. ἢ ὅτι τῆς Φυσικῆς ἁφῆς συστατική ἐστιν ἡ τοιαύτη ἰδιότης, ἅπτεται γὰρ αὐτῶν τὰ φύσιν ἔχοντα, ἵνα θάτερον εἰς πάθος ἄγῃ τὸ ἕτερον. εἰς ἀκρίβειαν δὲ ἐμφανωτέραν δεῖ εἰδέναι, τούτῳ μάλιστα διενηνοχέναι τῆς Μαθηματικῆς ἁφῆς τὴν Φυσικήν, ὅτι ἡ μὲν δραστικῶν ἐστι σωμάτων καὶ παθητικῶν συμπλοκὴ τῇ τῆς ποιότητος διαδόσει, ὅθεν καὶ τὰ ἄποθεν ἅπτεσθαι λέγεται ἐν τοῖς Φυσικοῖς διαδοθείσης γε μόνον τῆς ποιότητος, ἡ δὲ Μαθηματικὴ, ἕνωσίς ἐστι σωμάτων κατὰ τὰς ἐπιφανείας, ὅθεν οὐχ ἅπτεσθαι λέγεται αὖ Μαθηματικῶς τὰ πόρρω διεστῶτα, πρόσθες ὅτι τέλος ἁφῆς τῶν φύσιν ἐχόντων τὸ ποιεῖν, φιλεῖ δὲ τὸ τέλος ὡς ἔοικε τοῖς ὁρισμοῖς ἐγκρίνεσθαι. Τρίτον ἀμφισβητεῖται πῶς ὁ Φιλόσοφος πέμπτῳ Φυσικῶν, μορίῳ κ'η'. τὰ συνεχῆ ἅπτεσθαι λέγει, εἰ μὲν γὰρ συνεχές

„ φησιν

Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

,, φησὶν ἀνάγκη ἅπτεσθαι, εἰ δὲ ἅπτεται οὔπω συνεχές, οὐ γὰρ ἀνάγ-
,, κη ἓν εἶναι αὐτῶν τὰ ἄκρα, εἰ ἅμα εἰσίν, ἀλλ' εἰ ἓν ἀνάγκη καὶ ἅ-
,, μα. ἐξ ὧν αὖτις συναγάγῃ μὴ ἐξ ἀνάγκης διῃρῆσθαι, τὰ ἁπτόμε-
,, να. ἢ ἅπτεσθαι λέγεται τὰ συνεχῆ ὡς ὅρῳ κοινῷ συναπτόμενα, κατ'
ἐξαίρετον τρόπον, ἡμεῖς δὲ ἐνταῦθα οὐ τὴν ὅρῳ κοινῷ γενομένην ἁφὴν ζη-
τοῦμεν, ἀλλ' ὧν μόνον ἅμα ἐστὶ τὰ ἔσχατα. Τέταρτον, οὐκ ἐλάττονος ἄξιόν
ἐστιν ἀπορίας, πότερον ἀεὶ ἅπτεται τὸ ἁπτόμενον ἁπτομένου ἢ μή; ὁ μὲν
οὖν Φιλόσοφος κατὰ λέξιν φησὶν ἐν τῷ περὶ ἁφῆς κεφαλαίῳ ὅτι ὡς ἐπὶ τὸ πο-
,, λὺ τὸ ἁπτόμενον ἁπτομένου ἁπτόμενον, καὶ γὰρ κινεῖ κινούμενα πάντα σχεδὸν
,, ἐμποδὼν ὅσοις ἀνάγκη καὶ φαίνεται τὸ ἁπτόμενον ἅπτεσθαι ἁπτομένου,
,, ἔστι δ' ὡς ἐνίοτε φαμὲν τὸ κινοῦν ἅπτεσθαι μόνου τοῦ κινουμένου, τὸ δ'
,, ἁπτόμενον μὴ ἅπτεσθαι ἁπτομένου, ἀλλὰ διὰ τὸ κινεῖν κινούμενα τὰ
,, ὁμογενῆ ἀνάγκη δοκεῖν εἶναι ἁπτομένου ἅπτεσθαι. ἐξ ὧν ἀριδήλως
συνάγεται ὅτι ὁ νοῦς ἅπτεται τῆς οὐρανίου ψυχῆς ἐγείρων αὐτὴν εἰς ὄ-
ρεξιν. οὐ μὴν γε καὶ ἡ αἰθέριος ψυχὴ ἅπτεσθαι λέγεται τοῦ νοός, εἰ
μὴ πάνυ τι καταχρηστικῶς, ἀλλά γε καὶ τὸν νοῦν ὡς τὸ τέλος ἅπτεσθαι τοῦ
πρὸς αὐτὸ στρεφομένου ῥητέον. ἄλλως γὰρ οὐκ ἐνδέχεται, εἰ μὴ βούλοιτό
τις μῶμον ἐνδείας προσάψαι τῷ νῷ. ἔτι δὲ τοῦ θνητοῦ καὶ ἐν γενέσει
σώματος τὸν οὐρανὸν ἅπτεσθαι μὴ ἁπτομένου, τῶν γὰρ εἰς ἄλληλα ποιη-
τικῶν ἡ ἁφὴ κυρίως λέγεται. εἰς ἐναργεστέραν δὲ λύσιν διακρίνειν εἰ-
κὸς τὰς ἁφάς, κατὰ μὲν γὰρ τὴν ἀποδοθεῖσαν τοῖς Μαθηματικοῖς ἁ-
φὴν φανερὸν ὅτι τὰ θέσιν ἔχοντα πάντα ἁπτομένων ἅπτεται, κατὰ δὲ
τὴν λεγομένην Φυσικὴν ἁφήν, ἁπτομένων ἅπτεται τὰ εἰς ἄλληλα
δρῶντα, καὶ τὰ τὴν αὐτὴν ἔχοντα ὕλην, εἰρήσεται δὲ περὶ τούτου καὶ κα-
τωτέρω. Πέμπτον ἀπορεῖται, πότερον ἡ ἁφὴ τῶν ἀφ' ἑνὸς ὁμωνύμων ἐ-
στιν; ἢ τῶν ἁπλῶς; εἰρηκότος γὰρ τοῦ Φιλοσόφου ὥσπερ καὶ τῶν ἄλλων
ὀνομάτων ἕκαστον λέγεται πολλαχῶς, καὶ τὰ μὲν ὁμωνύμως, τὰ δὲ θά-
τερα ἀπὸ τῶν ἑτέρων, καὶ τῶν προτέρων, οὕτως ἔχειν καὶ περὶ ἁφῆς. ἀμ-
φίβολον φαίνεται πότερον ἡ ἁφὴ ὡς τὰ ἀπὸ τῶν προτέρων λεγόμενα ὁ-
μώνυμα, ἢ ὡς τὰ ἁπλῶς; Δεῖ οὖν εἰς δήλωσιν εἰδέναι ὅτι τῶν ὀνο-
μάτων τὰ μὲν συνωνύμως λέγεται, τὰ δὲ πολλαχῶς, ἃ καὶ ὁμώνυμα
παρὰ Φιλοσόφοις ἀκούει, ταῦτα δὲ ἢ κοινότατον λέγεται κατὰ πάντων τῶν
πολλαχῶς λεγομένων, ἢ κατὰ τῶν ἐχόντων τοὔνομα μόνον κοινὸν τὸν δὲ κατὰ
τοὔνομα λόγον πάντως ἕτερον, ἰδιαίτερον οὖν λαμβανομένων τῶν ὁμωνύμων
εἰσὶν ἃ πολλαχῶς λεγόμενα οὐχ ὁμώνυμά εἰσιν ἁπλῶς, οὐ γὰρ τούτων ἡ φύ-
σις πάντῃ διέστηκεν, ἀλλ' ἔστι τι πρότερον ἀφ' οὗ θάτερον εἴρηται, καὶ ταῦτα
μετὰ προσθήκης ὁμώνυμα λέγεται, οἷον ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, καθ'
ἣν σημασίαν ὁμωνύμως εἴρηκε λέγεσθαι τὰ δέκα γένη τοῦ ὄντος ὁ πορ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φύσεως, διά τοι τοῦτο καὶ Ἀλέξανδρος τὸ ὂν κοινότερον μὲν τῶν ὁμωνύμων λέγεσθαι τῷ Φιλοσόφῳ ἰδιαίτερον δὲ τῶν ἁπλῶς ὁμωνύμων διαστέλλεσθαι. ὁμοίως δὲ καὶ Φιλόπονος τὴν προκειμένην τοῦ Φιλοσό-
„ φου λέξιν ἐπιὼν, Σημειωτέον φησὶν ὅτι οὐκ οἴεται ὁμώνυμα εἶναι τὰ
„ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἀλλὰ τῶν πολλαχῶς μὲν λεγομένων οὐχ ὁμώ-
„ νυμα δὲ, ἐπὶ πλέον γὰρ τὰ πολλαχῶς λεγόμενα τῶν ὁμωνύμων, εἰ
„ δὲ ἐν κατηγορίαις ἐν τῇ διαιρέσει τῶν ὁμωνύμων, καὶ τῶν ἀφ' ἑνὸς
„ καὶ πρὸς ἓν οὐκ ἐμνήσθη, φαμὲν ὅτι οὐκ ἀκριβολογούμενος ἐν ἐκείνοις
„ τὰ πολλαχῶς λεγόμενα ὁμώνυμα ἐκάλεσε, τῶν οὖν πολλαχῶς λεγομένων
„ ἐκεῖ τὴν διαίρεσιν ἐποιήσατο, ἐστιν οὖν μεταξὺ τῶν ὁμωνύμων καὶ συνω-
„ νύμων τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἡμεῖς γε ὅμως καὶ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν μετὰ τῶν γνησίων ὀπαδῶν τοῦ Φιλοσόφου ὁμώνυμα λέγομεν, καίτοι μὴ ἰδίως, ἀλλὰ καθὸ τῶν ὁμωνύμων ἀντιδιαστέλλεται. ἰδίως δὲ ὁμώνυμα τὰ ταύτῃ κατὰ φύσιν ἕτερα φαμὲν κοινωνοῦντα κατὰ τοὔνομα. ἐστι τοιγαροῦν ἡ ἁφὴ τῶν πολλαχῶς λεγομένων, καὶ ὁμώνυμος ὡς τὰ ἀφ' ἑνὸς, εἰ δέ τις ζητοίη ὁποῖον ἐστὶ τὸ πρότερον ἀφ' οὗ τἆλλα λέγεται, φαμὲν ὅτι τῆς ἁφῆς ὡς πάθος θεωρουμένης παρεπομένῃ τοῖς θέσιν ἔχουσι μεγέθεσι πρώτως ἐστὶν ἐν τοῖς ποσοῖς. παρὰ δὲ τὸ τέλος ἀκριβολογουμένοις ἡ τῶν φύσιν ἐχόντων ἁφὴ προτέρα δοκεῖ. κἂν τούτοις μᾶλλον προτέρων ἢ σαφεστέρα κατὰ τὴν αἴσθησιν. ἀπὸ γὰρ τῶν γνωριμωτέρων ἡμῖν ἡ θέσις γίγνεται τῶν ὀνομάτων.

## ΚΕΦΑ'ΛΑΙΟΝ, ΤΡΙ'ΤΟΝ.

### Πότερον τοῖς Μαθηματικοῖς ἁφὴ προσήκει παρ' ἣν ἐν τοῖς συνεχέσιν ἐθέμεθα;

ΔΙττῆς οὔσης ὡς εἴρηται τῆς ἁφῆς, τῆς μὲν Φυσικῆς, τῆς δὲ Μαθηματικῆς, ταύτην πρότερον ἐμπεδῶσαι πειρατέον τοὺς ἀντιπίπτοντας ἐπιλύσασι λόγους. δοκεῖ γὰρ μὴ εἰκότως ἀπονέμεσθαι ἁφὴ τοῖς Μαθηματικοῖς. οἷς γὰρ τόπος ἁρμόζει τούτοις ἁφὴ προσήκει, τοῖς γὰρ θέσιν ἔχουσιν ἡ ἁφὴ τούτοις δὲ τόπος ἐξ ἀνάγκης ἐστιν, ὅτι δὲ τοῖς Μαθηματικοῖς οὐχ ἁρμόζει τόπος φανερὸν τοῖς γε εἰδόσιν ὅτι ἐπινοίᾳ ἐστὶ τὰ Μαθηματικὰ, καὶ ἀφῃρημένα τῶν καθ' ἕκαστα. ἔτι δὲ τὰ ἐν τόπῳ ἐξ ἀνάγκης ἢ ἄνω ἢ κάτω ἐστὶ, κἂν τούτοις ἢ κατὰ φύσιν ἢ παρὰ φύσιν. ἀλλὰ μὴν τὰ Μαθηματικὰ οὔτε ἄνω τέτακται, οὔτε κάτω, οὔτε κατὰ φύσιν ἢ παρὰ φύσιν, ὡς ἅτε μὴ ἔχοντα βάρος ἢ κουφότητα, ὅτι δὲ

τὸ μήτε ἄνω μήτε κάτω ὑπάρχον οὐδόλως ἐστὶν ἐν τόπῳ φανερόν. ἀδύνατον γάρ τι ἐν γένει τινὶ εἶναι μὴ ἐν εἴδει τινὶ τῶν ὑπὸ τὸ γένος ὑπάρχον, ὥστε δοκεῖ ἀφὴν ἔχειν τὰ Μαθηματικά, μόνον ἣν εἰρήκαμεν ἐν τῷ συνεχεῖ τετάχθαι παρὰ τοῦ Φιλοσόφου, ὅσα γὰρ ἀδιαιρέτοις συνάπτεται ἓν ἐστι, τὰ δὲ Μαθηματικὰ ἔοικεν ἀδιαιρέτως ἁπτόμενα. ἐκ ἐναντίας δὲ κοινῶς ἅπτεσθαι λέγεται τὰ Μαθηματικά, διὸ δὴ γέγραπται ἐν τοῖς Γεωμετρικοῖς ἐπιπέδου τὴν σφαῖραν καθ᾽ ἓν ἅπτεσθαι σημεῖον, καὶ ἄλλ᾽ ἄττα τῶν τῶν Μαθηματικῶν ἀφὴν ἐπιδεικνύοντα. πρὸς τοὺς ἀντικειμένους οὖν ἀπαντῶμεν λόγους. ὅτι τὰ Μαθηματικὰ ἄνευ τόπου θεωρεῖται, ὁ γὰρ τόπος οὐ συμπληροῖ τὸ εἶναι αὐτῶν, ἀλλ᾽ ὅμως ἢ ἁπτόμενα, καὶ θέσιν ἔχειν, καὶ ἐν τόπῳ ὑπάρχειν φαντάζεται. καίτοι μὴ ὄντα ἐνεργείᾳ, τοῦτο γὰρ συνάγεται ἐκ τοῦ τετάρτου τῶν Φυσι-
„ κῶν, μορίῳ ος΄. ὅπου φησίν, Οἱ μὲν οὖν οἴονται τὸ κενὸν εἶναι,
„ εἴπερ ἔσται ἡ κατὰ τόπον κίνησις ἀποκεκριμένον καθ᾽ αὐτό, τοῦτο δὲ
„ ταυτόν ἐστι τὸ τὸν τόπον φάναι εἶναί τι κεχωρισμένον, τοῦτο δὲ ὅτι ἀ-
„ δύνατον εἴρηται πρότερον, καὶ καθ᾽ αὐτὸ δὲ σκοποῦσι φανείη ἂν τὸ
„ λεγόμενον κενὸν ὡς ἀληθῶς κενόν, ὥσπερ γὰρ ἐν ὕδατι ἂν θῇ-
„ τις κύβον ἐκστήσεται τοσοῦτον ὕδωρ ὅσον ὁ κύβος, οὕτω καὶ ἐν ἀέρι,
„ ἀλλὰ τῇ αἰσθήσει ἄδηλον. δι᾽ ὧν ὁ Φιλόσοφος διδάσκει πρῶτον μὲν μὴ εἶναι τόπον κεχωρισμένον, ἀεὶ γὰρ ἐντοπιζομένου τινός ἐστιν ὁ τόπος, ἔπειτα ἐπιφέρει ὅτι εἰ καὶ τὰ σώματα δίχα ποιότητος ληφθείη οἷον βάρους ἢ κουφότητος, πάλιν ἴσον ἐφέξει τόπον καίτοι μὴ διωρισμένον, ἀλλ᾽ εἴτε ἐν ἀέρι, εἴτε ἐν ὕδατι, ὁμοίως δὲ καὶ ἐν τῷ πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ μδ΄. καὶ γὰρ τοῖς Μαθηματικοῖς φησιν ὁμοίως ἀποδοτέον ἀφὴν καὶ τόπον, εἴτε ἐστὶ κεχωρισμένον ἕκαστον αὐτῶν, εἴτε ἄλλον τρόπον, ὥστε δῆλον ὅτι τόπον ἔχει τὰ Μαθηματικά, καίτοι μὴ ὡρισμένον, τοῖς γὰρ ποσοῖς ᾗ ποσοῖς ὁ τόπος ἁπλῶς προσήκει. ὃς καὶ παρέπεσθαι λέγεται τῇ ποσότητι, ᾗ γὰρ ἔκτασιν ἔχει ἡ οὐσία ταύτῃ καὶ τόπον ἀπαιτεῖ. ᾗ δὲ ποιοῖς ὁ τοιόσδε τόπος. διὸ δὴ ῥητέον ὅτι ἐπειδὴ τὰ πρότερον ἐνδέχεται τῶν ὑστέρων ἀφαιρεῖσθαι, ὁ δὲ τόπος ἁπλῶς πρότερός ἐστι τῶν τούτου διαφορῶν, εἰκότως ἐστί τι θεωρῆσαι ἐν τόπῳ., ἀλλὰ μὴ ἔν τινι διαφορᾷ τόπου, καίτοι τοῦτο κατὰ τὴν ὕπαρξιν οὐκ ἐν τόπῳ ἐστὶν ἁπλῶς ἀλλ᾽ ἢ ἄνω ἢ κάτω. ἐπειδὴ τοιγαροῦν οἱ περὶ τὰ μαθήματα τὸ ποσὸν θεωροῦσι τῶν ποιοτήτων ἀφῃρημένον, ἅμα δὲ φαντάζονται τόπον τε καὶ ἀφὴν ὡς ἑπόμενα τῇ ποσότητι οὐδένα λόγον ποιοῦσι τῶν τοῦ τόπου διαφορῶν, ὡς οὐδὲ τῶν ποιοτήτων αἷς ὁ τοιόσδε παρακολουθεῖ τόπος. Ἔτι δὲ ἠπορεῖτο πότερον ὡς τὰ συνεχῆ ἅπτεται αὐτῶν τὰ Μαθηματικά, ἢ ὡς τὰ διωρισμένα; ἔνιοι γὰρ τῶν ἀράβων οὐ-

δὲν εἰρήκασι διῃρημένον εἶναι ἐν τοῖς Μαθηματικοῖς ἁπτόμενον ἑτέρῳ, ἐπειδὴ γὰρ ἐν τούτοις οὐδεμία διάκρισίς ἐστι τοῦ ποιοῦ καὶ τῆς φύσεως δοκεῖ ὅσα αὖ ἅπτεται συνεχῆ γενέσθαι, ὡς ἔχοντα τὸν αὐτὸν λόγον καὶ μὴ διαστελλόμενα ἀλλήλων. ἀλλ' ὅμως οὐ δοκεῖ τὰ ἁπτόμενα κατὰ τοὺς Μαθηματικοὺς εἶναι συνεχῆ, ἡ γὰρ σφαῖρα ὡς διακεκριμμένη λέγεται ἅπτεσθαι τοῦ ἐπιπέδου, καὶ σαφέστερον Εὐκλείδης τρίτῳ τῶν στοιχείων τὴν ἁφὴν τοῦ συνεχοῦς διακρίνει, κύκλον γὰρ οὐκ ἐνδέχεται συνεχίζεσθαι κύκλῳ, ἅπτεσθαι γε ὅμως ἀλλήλων ἐνδέχεται. ἔτι δὲ τοῦ συνεχοῦς μία ἐστὶ τὸν ἀριθμὸν ἡ κίνησις, ἁπτομένων δὲ κύκλων τὴν κίνησιν τίς αὖ φαίη μίαν, ἀλλ' οὐ μᾶλλον ἀντικειμένην θατέρου ἑτέρᾳ ὡς ἐν τοῖς μηχανικοῖς εἴρηται. ἐπειδὴ δὲ ὅμως ἕτερα φαμὲν ὅσα διαστέλλεται λόγῳ τινί, τὰ δὲ ἁπτόμενα οὐ διακεκρίσθαι φαίνεται ἀμφότερα ποσὰ ὄντα, εἰκότως αὖ οἱ Ἄραβες ἔλεγον συνεχῆ τὰ ἁπτόμενα κατὰ Μαθηματικοὺς ὅσα μὴ διάκρισιν ἴσχει κατὰ τὸ σχῆμα, ὅθεν εὐθεῖα ἁπτομένη εὐθείας ἓν γίνεται καὶ συνεχές, καὶ ἐπίπεδον ἐπιπέδου, καὶ στερεοῦ στερεὸν τοῦ αὐτοῦ σχήματος ὄντα. ἐν οἷς δὲ διαφορά ἐστι κατὰ τὸ σχῆμα, ἢ τοὺς ὅρους, ὀρθῶς λέγεται ἡ ἁφὴ μὴ συνέχειαν ἀποτελεῖν.

## ΚΕΦΑ'ΛΑΙΟΝ, ΤΕ'ΤΑΡΤΟΝ.

### Περὶ τῆς ἐν τοῖς Φυσικοῖς ἁφῆς.

ΠΕρὶ δὲ τῆς τῶν φύσιν ἐχόντων ἁφῆς εἰ ἔστι, καὶ πότερον ἐνδέχεται ἅπτεσθαι ἀλλήλων δίχα μέσου τὰ στερεὰ σκεψώμεθα. Πρῶτον οὖν δοκεῖ μὴ εἶναι Φυσικὴν ἁφὴν, καὶ γὰρ ἅμα εἶναι τὰ τῶν Φυσικῶν σωμάτων ἔσχατα οὐ δύναται. τὰ γὰρ ἅμα ὄντα ἐν τῷ αὐτῷ τόπῳ ὑπάρχει, τὰ δὲ ἀδιαίρετα οὐκ εἰσὶν ἐν τόπῳ, ἀλλὰ μὴν τὰ ἁπτόμενα ὀφείλει ἅμα εἶναι κατὰ τὰ ἔσχατα, ἀλλήλων ἄρα οὐχ ἅπτεται τὰ φύσιν ἔχοντα. παρέσχε δὲ ταύτην ἡμῖν τὴν ἀπορίαν ἡ κβ'. περικοπὴ τοῦ πέμπτου τῶν Φυσικῶν, ἐν ᾗ ἅμα μὲν οὖν φησιν ὁ Φιλόσοφος. λέγεται ταῦτα εἶναι κατὰ τόπον ὅσα ἐν ἑνὶ τόπῳ ἐστὶ πρώτῳ, χωρὶς δὲ, ὅσα ἐν ἑτέρῳ. εἶτα προστίθησιν, ὅτι ἅπτεται ὧν τὰ ἄκρα ἅμα. ὅθεν σαφῶς συνάγεται ἐν τῷ αὐτῷ τόπῳ εἶναι τὰ ἁπτόμενα, ἀλλὰ μὴν τὰ ἀδιαίρετα οὐκ εἰσὶν ἐν τόπῳ, ἄρα τῶν Φυσικῶν σωμάτων οὐκ ἔστιν ἁφὴ, ἔτι δὲ μεταξὺ δυοῖν ἀδιαιρέτων συνεχές τι ἐστὶν ἀεὶ ὡς πέρασι τοῖς ἀδιαιρέτοις ὁριζόμενον. εἰ δὲ κατὰ τὰ ἄκρα καὶ τὰ πέρατα αὐτῶν ἅπτεται τὰ



ΙΩΑΝΝΙΝΑ 2006

ἀπτόμενα, οὐκ ἂν ἦν ἀληθὴς ὁ ῥηθεὶς κανὼν, οὐδὲν γὰρ ἐστὶ μεταξὺ τῶν ἀπτομένων ἀδιαιρέτων περάτων. τοῦτ' αὐτὸ διὰ παραδείγματος ἐμπεδοῦται, διϊέναι γὰρ ἐπινοείτω τις τὸν τοῦ παντὸς ἄξονα διὰ τῆς ἐσχάτης ἐπιφανείας τῆς Σεληνιακῆς σφαίρας καὶ τῆς ἐξωτάτω τοῦ ὑπεκκαύματος διατέμνοντα ἀμφοτέρας, πότερον οὖν ἐνταῦθα καθ' ἓν σημεῖον διατέμνει ἑκατέραν τὴν ἐπιφάνειαν, ἢ μή; καὶ εἰ μὲν καθ' ἓν ἀμφοτέρων ἔσαι συνεχῆ τὰ ἄκρα ὅρῳ κοινῷ ἑνιζόμενα, εἰ δὲ μὴ καθ' ἓν, οὐχ ἅπτονται ἀλλήλων μεταξὺ τῶν δύω σημείων μέρους γραμμῆς παρεμπεσόντος. δεῖ οὖν εἰδέναι κἂν τοῖς Φυσικοῖς ὑπάρχειν ἀφὴν, καὶ γὰρ τὰ ἀπτόμενα σώματα εἰ τῆς αὐτῆς ἐστι φύσεως, συμφύεται καὶ συνεχῆ γίνεται, οἷον ὕδατι προσιὸν ὕδωρ, καὶ ἀέρι ἀὴρ, εἰ δὲ μὴ ταῦτα κατὰ φύσιν μὴ συμφυέντα σώζεται διῃρημένα, ὥστε τὴν μὲν ἐν τοῖς συνεχέσιν ἀφὴν τῇ συμφυΐᾳ παρέπεσθαι τῶν πραγμάτων, τὴν δὲ ἐν τοῖς διωρισμένοις τῇ τῶν φύσεων διακρίσει. ὁπηνίκα δὲ λέγηται τὰ ἀδιαίρετα μὴ εἶναι ἐν τόπῳ ἀληθῶς μὲν ἀεὶ καθ' αὑτὸ, ὀρθῶς γὰρ τὰ ἀδιαίρετα κατὰ συμβεβηκός εἰσιν ἐν τόπῳ τῷ λόγῳ τοῦ περατουμένου σώματος. ὁμοίως δὲ ἐν τῷ αὐτῷ τόπῳ ὑπάρχειν λέγεται, ὅτι ἐξισοῦται ἀλλήλοις καὶ μὴ χωρίς εἰσιν. ὅτι δὲ μεταξὺ ἀδιαιρέτων μέρος τι εἶναι ὀφείλει, ἐπὶ μὲν τῶν συνεχῶν ὁμολογεῖται, ἐπὶ δὲ τῶν διακεκριμένων σωμάτων οὐθὲν ἐστὶ μέσον ἐξ ἀνάγκης, περὶ δὲ τοῦ ἄξονος τοῦ διϊόντος τήν τε τοῦ πυρὸς ἐξωτάτω ἐπιφάνειαν, καὶ τὴν ἐσωτάτω τῆς Σεληνιακῆς σφαίρας λέγοι τις ἂν, ὅτι ἡ μὲν διερχομένη γραμμὴ ἑνὶ σημείῳ συνεχίζεται δύω δὲ τὰ σημεῖα ἐστὶ τῶν ἐπιφανειῶν, πῶς δὲ δυσὶ σημείοις ἀπαντᾷ τὸ ἓν ἐδί-
„ δαξεν ὁ Φιλόσοφος ὀγδόῳ Φυσικῶν, μορίῳ ξέ. Τριῶν γὰρ ὄντων
„ ἀρχῆς, μέσου, καὶ τελευτῆς, τὸ μέσον πρὸς ἑκάτερον ἄμφω ἐστὶ, καὶ
„ τῷ μὲν ἀριθμῷ ἓν, τῷ δὲ λόγῳ δύω, ἔτι δὲ ἄλλο ἐστὶ τὸ δυνάμει
„ καὶ τὸ ἐνεργείᾳ, ὥστε τῆς εὐθείας τῶν ἐντὸς τῶν ἄκρων ὁτιοῦν σημεῖον
„ δυνάμει μὲν ἐστὶ μέσον, ἐνεργείᾳ δὲ οὐκ ἔστιν ἐὰν μὴ διέλῃ ταύτην,
„ καὶ ἐπιστὰν πάλιν ἄρξηται κινεῖσθαι. τοιγάρτοι τὸ ἐν τῷ ἄξονι ση-
„ μεῖον, τῷ ἀριθμῷ ἓν ἐστὶ, τῷ λόγῳ δὲ δύω. οὐ γὰρ ἐνεργείᾳ ὑπάρχει ἀλλὰ δυνάμει μόνον. ὥστε δυνάμει ὂν τοῖς δυσὶ τῶν ἐπιφανειῶν ἀπαντᾷ σημείοις. ἐὰν δὲ διελεῖν ἐνδέχοιτ' ἂν τὸν ἄξονα τὸ μεσάζον ἐκεῖνο σημεῖον οὐκ ἔτι ἓν ἦν, ἀλλὰ δύω ἀρχὴ καὶ τελευτὴ γεγονός. Δεύτερον ἠμφισβητεῖτο, πότερον μεταξὺ δύω σωμάτων σῶμά τι ἐστὶν ἀεί. ὁ μὲν Σταγειρίτης, μορίῳ ριγ'. τοῦ δευτέρου περὶ ψυχῆς κατὰ ῥῆ-
„ μα φησίν, ὧν δὲ ἐστι μεταξὺ δύω σωμάτων σῶμα τι οὐκ ἐνδέχεται
„ ταῦτα ἀλλήλων ἅπτεσθαι, τὸ δὲ ὑγρὸν οὐκ ἔστιν ἄνευ σώματος, οὐδὲ
„ τὸ διερὸν, ἀλλ' ἀναγκαῖον ὕδωρ εἶναι, ἢ ἔχειν ὕδωρ, τὰ δὲ ἀπτόμε-



Ε.Υ.Δ.Τ.Ι.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

„ να ἀλλήλων ἐν τῷ ὕδατι μὴ ξηρῶν τῶν ἄκρων ὄντων ἀναγκαῖον ὕ-
„ δωρ ἔχειν μεταξὺ οὗ ἀνάπλεα τὰ ἔσχατα, εἰ δὲ τοῦτο ἀληθὲς ἀδύ-
„ νατον ἅψασθαι ἄλλο ἄλλου ἐν ὕδατι. τὸν αὐτὸν τρόπον καὶ ἐν τῷ ἀέ-
„ ρι, ὁμοίως γὰρ ὁ ἀὴρ πρὸς τὰ ἐν αὐτῷ, καὶ τὸ ὕδωρ πρὸς τὰ ἐν
„ αὐτῷ τῷ ὕδατι, λανθάνει δὲ μᾶλλον ἡμᾶς ὥσπερ καὶ τὰ ἐν τῷ ὕ
„ δατι ζῶα εἰ διερὸν διεροῦ ἅπτεται. ἐξ ὧν ὁ Φιλόσοφος τά,τε ἐν τῷ ἀέρι ἁπτόμενα, καὶ τὰ ἐν τῷ ὕδατι ἔχειν τι μεταξὺ δείκνυσιν, εἰ δ' ἔχει οὐχ ἅπτεται. ὡς μὴ ὄντων ἅμα τῶν ἄκρων, τοῦτο δὲ οὐ μόνον ἡ ἀπ' αἰσθήσεως πίστις μαρτυρεῖ, ἀλλ' γάρ τις δύω τινὰ σώματα ἐν τῷ ἀέρι ἀλλήλων ἁπτόμενα ἐμβαλὼν εἰς ὕδωρ αὖθις ἐξαγάγῃ τὰς μεταξὺ τῶν ἁπτομένων ἐπιφανείας ὑγρὰς εὑρήσει, ὥστε τὴν χώραν τὸ ὑγρὸν κατέσχεν ἐπλήρου πρότερον ἀλλ' ὁ ἀήρ, καὶ ὥσπερ ἐν τῷ ὕδατι μεταξὺ τῶν σωμάτων ὕδωρ, οὕτως ἐν τῷ ἀέρι ἀήρ. τοῦτο δὲ αὐτὸ καὶ ὁ λόγος ἐμπεδοῖ, εἰ γὰρ ἄνευ τινὸς παρεμπίπτοντος σώματος ἅπτεται τὰ ἁπτόμενα ἁπτομένων ἐν τῷ χωρισμῷ τούτων δοθήσεται τὸ κενὸν, καὶ γὰρ θατέρου σώματος ἀποσπῶντος τοῦ ἑτέρου, ἢ ἐν ἀκαρεῖ ὁ ἀὴρ ἀπὸ τοῦ ἄκρου ἕως τοῦ μεσαιτάτου διελήλυθεν, ὥστε γίνεσθαι κίνησιν ἄνευ χρόνου. ἢ κατὰ σμικρὸν διϊόντος τοῦ ἀέρος, ὥστε πρότερον μὲν εἶναι ἐν τῷ μεταξὺ, ἢ ἐν τῷ μέσῳ δοθήσεται κενὸν, ἐν τῷ μέσῳ κατὰ τὴν σωμάτων ἀπόστασιν. τούτοις οὖν πειθόμενοι τοῖς λόγοις ὡς ἐπὶ τὸ πολὺ δύω σωμάτων μεταξὺ σῶμά τι λεπτομερὲς, καὶ εὐκίνητον παρεμπίπτειν ὁμολογοῦμεν. Πρῶτον γὰρ τὰ σώματα οὐκ ἀκριβῶς ἐστιν ὁμαλῆ, ὥστε μὴ ἀνεπαισθήτως τῇ μὲν κοιλοῦσθαι, τῇ δὲ κυρτοῦσθαι, ὥστε τηρεῖν ἐν αὐτοῖς ἀέρα τινά. Δεύτερον ἅπαντα πόρους ἴσχει ἐν οἷς ὑπάρχει ἀὴρ οὐκ ἐκκενάμενος κατὰ τὴν ἀφήν, οὐδὲν ἧττον ὅμως ἐνδέχεται (καὶ τοῦτο πολλάκις αὐτοψίᾳ μεμαθήκαμεν) δύω σώματα οὕτως ἀκριβῶς ἅπτεσθαι κατὰ τὰ ἄκρα, ὥστε πάσας τὰς τούτων ἐσχάτας ἐπιφανείας ἅμα εἶναι. ταῦτα τοι καὶ ἐν ὕδατι πεσόντα ξηρὰ σώζεται κατὰ τὰς ἡμμένας ἐπιφανείας. καὶ ἐν ἀέρι κείμενα, οὐκ ἀποσπᾶται, ῥᾳδίως, εἰ μὴ μόνον ἀφ' ἑτέρου τῶν ἄκρων ἵνα διϊόντος τοῦ ἀέρος εἰς τὸ μεταξὺ μὴ δοθῇ κενόν. ὁ τοίνυν Φιλόσοφος μετ' ἀπορίας τὴν λέξιν προβάλλεται, καὶ ἐμπεδοῖ ἀπὸ τῶν ὡς ἐπὶ τὸ πολὺ ἁπτομένων σωμάτων μὴ ὁμαλῶν ἀκριβῶς ὄντων. ἀπορήσειε δ' ἄν τις πότερον ἀμέσως ἅπτεται ἀλλήλων τὰ αἰθέρια σώματα, στερεὰ γὰρ ὄντα δοκεῖ θάτερα ἐμποδὼν γίνεσθαι τῆς ἑτέρων κινήσεως, ἢ οὐκ ἀκριβῶς εἰσιν εὔτορνοι αἱ τοιαῦται σφαῖραι, καὶ λεῖαι κατὰ τὰς ἐπιφανείας, ὡς ἥκιστα τῆς γεώδους κοινωνοῦσαι σκληρότητος, ὅθεν οὐδὲ προσκόπτουσι τὴν κίνησιν ἀλλήλων.



ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑ΄ΛΑΙΟΝ, ΠΕ΄ΜΠΤΟΝ.

## Πότερον πᾶν τὸ ποιοῦν διὰ θιγῆς ἐνεργεῖ;

Τοῦ Φιλοσόφου περὶ γενέσεως καὶ φθορᾶς τεμμαχίῳ μγ΄. εἰπόντος ὅτι οὔτε ποιεῖν, οὔτε πάσχειν δύναται κυρίως ἃ μὴ οἷόν τε ἅψασθαι ἀλλήλων. ζητεῖται πότερον, ἐπὶ πάντων ἀληθὴς ὁ λόγος, ἢ οὔ; ἔστι γὰρ εὑρεῖν οἷς ἡ τοιαύτη λέξις μάχεσθαι δοκεῖ. Πρῶτον γὰρ τὰ ἀσώματα τῶν ποιητικῶν ἐστι, ταῦτα δὲ οὐκ ἁπτικά, σωμάτων γὰρ ἡ ἁφή. Δεύτερον εἰσὶν ἃ καὶ εἰς τὰ ἀπωτάτω δύναται ἐνεργεῖν, οἷον Ἥλιος καὶ ἄστρα οὐ μόνον θερμαίνοντα τὰ τῇδε, ἀλλὰ καὶ πλοῦτη καὶ πενίας καὶ ἄλλας τέχνας τοῖς ὑπὸ Σελήνην παρέχοντα. ὡσαύτως δὲ καὶ νάρκη ἡ θαλασσία τὸ πάθος τοῖς ἁλιεῦσι διαδίδωσι διὰ μέσων τῶν δικτύων ἥκιστα κοινωνούντων ναρκώσεως. ἔτι δὲ ἡ ἡρακλεία λίθος ἕλκει τὸν σίδηρον, καὶ κάρφος ὁ ἤλεκτρος μὴ μεταβάλλοντα τὸ μεταξύ. Τρίτον τὰ μεμιγμένα δρῶσι καὶ πάσχουσιν ὑπ᾽ ἀλλήλων, οὐ μὴν ἅπτεται ἀλλήλων ὡς διῃρημένα. ὁ δὲ λόγος περὶ τῆς τῶν διωρισμένων ἁφῆς αὐτῷ προσδιωρισμένως εἴρηται. τοιγάρτοι ἀνάγκη προδιαλαβεῖν ἔνια, δι᾽ ὧν αὖ ῥαδίως ἐπιλύοιντο τὰ ἀντιφερόμενα. δεῖ τοίνυν πρῶτον εἰδέναι ὅτι ἡ ἐνέργεια τῶν πολλαχῶς ἐστι λεγομένων, ἡ μὲν γὰρ ἠθική ἐστιν οἷον ἡ τῶν ἀνθρώπων πρᾶξις, ἡ δὲ Φυσική, ἥτις πάλιν εἴρηται διχῶς, ἢ κοινότερον ἀντὶ τῆς ἧς τινοσοῦν κινήσεως, ἐνέργεια γάρ ἐστιν ἡ τοῦ κινοῦντος ἡ κίνησις· ἢ ἰδιαίτερον ᾗ ταύτῃ τὸ πάσχειν ἀντίκειται, ἥτις κατὰ τὸ τρίτον εἶδος ἐστὶ τῆς ποιότητος, καὶ μάλιστα κατὰ τὰς ἐναντιότητας, περὶ ἧς καὶ τῷ Φιλοσόφῳ ἐνταῦθα ὁ λόγος. Δεύτερον σημειωτέον, ὅτι ἡ ἐνέργεια ἡ πρώτη ἐστὶν ἀμέσως προϊοῦσα τοῦ ποιοῦντος, ἡ δευτέρα διὰ τῆς πρώτης ἐνεργείας ἀποτελουμένη. οἷον ὁ Ἥλιος πρῶτον μὲν φωτίζει, δεύτερον δὲ θερμαίνει διὰ τοῦ φωτός, οὐ μὲν οὖν περὶ τῆς δευτέρας ἐνεργείας, ἀλλὰ περὶ τῆς πρώτης μᾶλλον ἡ σκέψις. Τρίτον ἐπιστάσεως ἐστὶν ἄξιον, ὅτι τῶν ποιητικῶν τὰ μὲν ἅπτεται τοῦ πάσχοντος ταῖς δυνάμεσι, τὰ δὲ τοῖς μεγέθεσι. Τέταρτον ὑποκείσθω ὅτι διὰ θιγῆς ἐνεργοῦντα τὰ ποιητικὰ οὐ μόνον κατὰ τὰ ἁπτόμενα μέρη δρᾷ, ἀλλὰ καθ᾽ ὅλον διὰ τῆς ἁφῆς διαδιδόντα τὸ πάθος. Τελευταῖον κἀκεῖνο σημειούσθω, ὅτι τὸ ποιοῦν ἢ διὰ μέσου τινὸς ἐνεργεῖ, ἢ δίχα μέσου, ὁμοίως γὰρ ὅτε μὲν ἅπτεσθαι λέ-

γεται τοῦ πάσχοντος διὰ τοῦ μέσου, ὅτε δίχα μέσου, οὕτω γὰρ ἐν τῷ πε-
„ ρὶ γενέσεως καὶ φθορᾶς, μορίῳ ο η. γέγραπται, ὁμοίως δὲ καὶ μὴ
„ θιγγάνοντα μήτε αὐτῶν μήτε ἄλλων, ἃ ποιεῖν πέφυκε καὶ πά-
„ σχειν (τουτ᾽ ἔστιν ἀπαθῆ εἰσι) λέγω δὲ οὐ μόνον ἁπτόμενον θερ-
„ μαίνει τὸ πῦρ, ἀλλὰ κἂν ἄποθεν ᾖ. τὸν μὲν γὰρ ἀέρα τὸ πῦρ,
„ ὁ δὲ ἀὴρ τὸ σῶμα θερμαίνει πεφυκὼς ποιεῖν καὶ πάσχειν, δι᾽ ὧν οὐ
„ μόνον ἀμέσως ἐδίδαξεν ἅπτεσθαι τὰ ποιοῦντα, ἀλλὰ πολλάκις ἀπτό-
μενα τοῦ μεταξὺ δρᾶν εἰς τὸ ἄποθεν. τούτων οὕτω σημειουμένων τὸ ποιοῦν
ἅπαν λέγομεν διὰ θιγῆς ἐνεργεῖν, ἐπεὶ γὰρ πάσχει τὰ παθητικὰ ὅ-
πως ἂν ὅμοια γένηται τῷ ποιοῦντι, πῶς ἂν ἐνδέχηται μεταβάλλειν μὴ
μεταλαβόντα τῆς τοῦ ποιοῦντος ἐνεργείας, ὥστε τὸ πάσχον ἀεὶ μεταβάλ-
λον, ἢ θιγγάνοντος τοῦ ποιοῦντος ἀμέσως ἢ διὰ τοῦ μεταξὺ ἁπτομένου ἑ-
κατέρωθεν τοῦτε ποιοῦντος καὶ τοῦ πάσχοντος διακομίζοντος τὴν δύναμιν,
καὶ ἐπὶ ταύτην ἐνοῦντος τῷ ποιοῦντι τὸ πάσχον. ταῦτα δὲ σαφέστερον ἐδή-
λωσεν ὁ Φιλόσοφος, μορίῳ ο δ. τοῦ δευτέρου περὶ ψυχῆς Δημοκρίτου
„ κατηγορῶν μὴ τηροῦντος τὴν εἰρημένην ἀλήθειαν. οὐ γὰρ καλῶς φησι
„ τοῦτο λέγει Δημόκριτος οἰόμενος εἰ γένοιτο κενὸν τὸ μεταξὺ ὁρᾶσθαι ἂν
„ ἀκριβῶς, καὶ εἰ μύρμηξ ἐν τῷ Οὐρανῷ εἴη, τοῦτο γὰρ ἐστὶν ἀδύνατον,
„ πάσχοντος γὰρ τοῦ αἰσθητικοῦ γίγνεται τὸ ὁρᾶν, ὑπ᾽ αὐτοῦ μὲν οὖν τοῦ
„ ὁρωμένου χρώματος ἀδύνατον, λείπεται δὲ ὑπὸ τοῦ μεταξὺ, ὥστε ἀ-
„ ναγκαῖον τι εἶναι μεταξὺ, κενοῦ δὲ γενομένου οὐχ ὅτι ἀκριβῶς, ἀλλ᾽ ὅ-
„ λως οὐδὲν ὀφθήσεται. ἐκ τούτων οὖν τῶν τοῦ Φιλοσόφου λογίων πορι-
σώμεθα πρῶτον ὅτι πᾶν τὸ ποιοῦν θιγγάνον ἐνεργεῖ τοῦ πάσχοντος, οὐδὲ
γὰρ αὖ τι πέπονθε τὸ πάσχον μὴ ἁπτομένου τοῦ ποιητικοῦ: δεύτερον, ὃ καὶ
Ἀλέξανδρος, καὶ Σιμπλίκιος ἀποσημειοῖ ὅτι μηδὲν τῶν ποιητικῶν εἰς
τὸ ἄποθεν ἐνεργεῖ μὴ τὸ μεταξὺ κινοῦν, καί τοι τοῦτ᾽ ἀληθὲς μὲν ἐπὶ
τῆς πρώτης τοῦ ποιοῦντος ἐνεργείας, οὐ μὲν οὖν ἐπὶ τῆς δευτέρας, ἥτις
ἐν τῷ πάσχοντι τελειοῦται διὰ τῆς πρώτης μηδόλως ἐν τῷ μεταξὺ
τυγχάνουσα. μάλιστα δὲ ἐπειδὴ ὕλην ὑποκεῖσθαι τῷ ποιοῦντι χρεὼν ἐπι-
τηδείαν, συμβαίνει πολλάκις μὴ τοῦ μεταξὺ δεκτικοῦ ὄντος, τὸ ἔσχατον
ἐνδέχεσθαι μεταβάλλειν, ὥστε μὴ πεπονθότος τοῦ μεταξὺ ἀλλοιοῦσθαι τὸ
πορρωτέρω κείμενον, οὐ μὴν γε δυνατὸν μὴ κινουμένου τοῦ μεταξὺ κατὰ τὴν
πρώτην ἐνέργειαν πάσχειν τι τὸ ἄποθεν ὂν, πῶς ἂν διαδέχοιτο τὴν τοῦ
ποιοῦντος ἐνέργειαν, φανερὰ δὲ ταῦτα ἐπὶ τῶν τοῦ Ἡλίου ἀκτίνων, αἵ
τινες καὶ ἐν ἀέρι εἰσὶ, καὶ ἐν τοῖς μεταξὺ αἰθερίοις σώμασιν, ἡ δὲ
θερμότης ἐστὶ μὲν ἐν ἀέρι, ἥκιστα δὲ ἐν τοῖς μεταξὺ ἀπαθέσιν οὖσι
κατ᾽ ἐναντιότητα, ὡσαύτως δὲ καὶ τὸ τῆς νάρκης πάθος ἐφιζάνει τῇ τοῦ
ἁλιέως χειρὶ διαδιδομένης ἐξ ἀνάγκης ποιότητός τινος εἰς τὸ μεταξὺ,



ΙΩΑΝΝΙΝΑ 2006

τῆς δὲ ναρκώσεως ἐν τῇ χειρὶ μόνον γινομένης. τὴν μὲν οὖν πρώτην ποιότητα ἀνάγκη διὰ τοῦ μεταξὺ ὥσπερ ὀχήματος διαπορθμεύεσθαι. τὴν δὲ δευτέραν ἐν ὑποκειμένῳ δεκτικῷ ὑπολαχώντως ἀποτελεῖ ἡ διὰ τοῦ μεταξὺ ἀφικομένη ποιότης. ὅθεν Σιμπλίκιος δευτέρῳ περὶ Οὐρανοῦ, μορίῳ β. μηδὲν ποιεῖν ἔφη εἰς τὸ ἄποθεν μὴ ἐνεργοῦν εἰς τὸ μέσον, ὁ δὲ ἀφροδισιεὺς Ἀλέξανδρος τοὐναντία φησὶν ὡς μαρτυρεῖ Σιμπλίκιος δευτέρῳ περὶ Οὐρανοῦ, ὑπομνήματι κθ'. λέγει γὰρ πολλὰ πάθη πολλοῖς ἐφιζάνει διὰ μέσων τινῶν τῶν μέσων μὴ πασχόντων, τὸ αὐτὸ πάθος, ἀλλὰ διὰ πορθμευόντων αὐτὰ πρὸς τὰ πάσχοντα, ἀμφότεροι γε ὅμως ὑπεναντία μὲν, ἀλλ' ἀληθῆ λέγουσιν, ὁ μὲν εἰς τὴν δευτέραν ἀποβλέψας ἐνέργειαν, ἥτις ἐν τῷ πάσχοντι ἐστὶ μὴ πασχόντων τῶν μέσων. ὁ δὲ εἰς τὴν πρώτην, ἥτις ἔντε τῷ μεταξὺ ὑπάρχει καὶ ἐν τῷ πάσχοντι. ἐκ τῶν εἰρημένων οὖν ῥᾷστα τις ἐπιλύσαιτο τὰς ἐξ ἀρχῆς ἐνστάσεις, εἰ γὰρ ἀσώματον δύναιτ' ἂν ποιεῖν ἐξ ἀνάγκης ἅψηται τοῦ πάσχοντος, ἐπειδὴ δὲ ἀδύνατόν ἐστιν ἅπτεσθαι τῶν σωμάτων τὰ ἀσώματα, εἰκότως οὐδὲν ἀσώματον λεγέσθω ποιητικὸν κατὰ τὴν ἔξω Φιλοσοφίαν εἰ μὴ καταχρηστικῶς πως. ὁμοίως δὲ εἴρηται πῶς εἰς τὰ ἄποθεν ἐνεργεῖ κατὰ δευτέραν ἐνέργειαν μὴ πεπονθότων τῶν μέσων τὰ ποιοῦντα, ὅ,τε γὰρ ἥλιος ἕλκει τὸ ὕδωρ διὰ τὴν ἀπὸ τοῦ φωτὸς θερμότητα, καὶ ἡ λίθος ἕλκει τὸν σίδηρον ἐφελκτικὸν ὄντα οὗ ἐστιν ἐνδεής, ἔχει δὲ αὐτὴ διαδιδομένης εἰς τὸν ἀέρα τῆς ποιότητος τῆς λίθου. περὶ δὲ τῶν μικτῶν δεῖ εἰδέναι, ὅτι εἰ μὲν εἶεν συμφυῆ πάντως οὐκ ἂν εἰς ἄλληλα δρῷεν, τὸ γὰρ συμφυὲς, καὶ ἓν ἀπαθὲς ὁ Φιλόσοφος, λέγει ο η. τμηματίῳ τοῦ πρώτου περὶ γενέσεως καὶ φθορᾶς. ὥστε εἰ πέφυκε ποιεῖν καὶ πάσχειν

„ ὑπ' ἀλλήλων τὰ μεμιγμένα οὐ πάντως ἐστὶ συνεχῆ. ὀγδόῳ γὰρ Φυ-
„ σικῶν, μορίῳ κθ. ἔτι πῶς φησιν ἐνδέχεται συνεχές τι καὶ συμφυὲς
„ αὐτὸ ἑαυτὸ κινεῖν, εἰ γὰρ ἓν καὶ συνεχὲς μὴ ἀφῇ, ταύτῃ ἀπαθὲς,
„ ἀλλ' ᾗ κεχώρισται, ταύτῃ τὸ μὲν πέφυκε ποιεῖν, τὸ δὲ πάσχειν. οὐκ
„ ἄρα τούτων οὐδὲν αὐτὸ ἑαυτὸ κινεῖν συμφυῆ γὰρ, οὐκ ἄλλο συνεχὲς
„ οὐδὲν, ἀλλ' ἀνάγκη διῃρῆσθαι τὸ κινοῦν ἐν ἑκάστῳ πρὸς τὸ κινούμενον.
„ ὅθεν εἰ τὰ μεμιγμένα εἰς ἄλληλα δρᾷ, ᾗ ποιεῖ οὐκ ἐστι συνεχῆ.

λέγει οὖν εἰκὸς συνεχῆ μὲν εἶναι τὰ μικτὰ κατὰ μέγεθος, μὴ συνεχῆ δὲ, μὴ δὲ συμφυῆ κατὰ τὸ ποιὸν, καθὸ πέφυκε ποιεῖν τε καὶ πάσχειν ὑπ' ἀλλήλων, ὅτι μὲν οὖν ἁπτικὰ τὰ ποιοῦντα πάντα καὶ τίνα τρόπον εἴρηται.